ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

# ΚΥΠΡΙΑΚΑ ΚΑΙ ΑΛΛΑ ΕΓΓΡΑΦΑ
# ΕΚ ΤΟΥ ΠΑΛΑΤΙΝΟΥ ΚΩΔΙΚΟΣ 367
## ΤΗΣ ΒΙΒΛΙΟΘΗΚΗΣ ΤΟΥ ΒΑΤΙΚΑΝΟΥ [1]

**339** (φ. 175β—176α)

Οὕσπερ ἡ φύσις ἐλευθέρους ἀπέδειξεν, τούτους τυραννικῇ βίᾳ εἰς δούλους μετήνεγκεν. Ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ θεὸς ἐν τῷ σταυρῷ τὰς αὐτοῦ χεῖρας ἁπλώσας καὶ τῷ τιμίῳ αὐτοῦ αἵματι τοὺς δακτύλους αὐτοῦ ἐρυθρώσας πᾶσιν ἡμῖν τὴν ἐλευθερίαν ἐδωρήσατο. Ἀλλὰ καὶ ὁ θειότατος ἀπόστολος Παῦλος οὕτως βοᾷ· Ἀδελφοί, Χριστὸς ἡμᾶς ἐξηγόρασεν τῷ τιμίῳ αὐτοῦ αἵματι. Τοίνυν κἀγὼ ὁδεῖνα ὁ τὸ οἰκεῖον ὄνομα ἐν τῇ ἀρχῇ τοῦ ὕφους προτάξας καὶ ἐν τῷ τέλει ὑποτάξας εἰς πίστωσιν τῆς ἀληθείας καὶ τῶν ὑποτεταγμένων βεβαίωσιν· καὶ γὰρ ἐκ τῶν πλουσίων δωρεῶν τοῦ φιλανθρώπου καὶ ἐλεήμονος θεοῦ ὠνησάμην σὲ τὸν δεῖνα τὸν Ρωμανίτην τὸν ἐκ τῆς χώρας τῆςδε διὰ ἡμετέραν ὑπηρεσίαν καὶ δούλευσιν. Καὶ τὴν σήμερον διήγειρεν ὁ τῶν κρυπτῶν γνώστης Κύριος τὴν διάνοιάν μου τοῦ ποιῆσαί σε ἐλεύθερον καὶ ἀκαταζήτητον πάσης δυναστικῆς δουλείας, ὡς ἵνα εὕρω κἀγὼ τὸν θεὸν ἵλεων ἐν ἡμέρᾳ τῆς κρίσεως. || Καὶ ἰδοὺ καλῇ πίστει καὶ διανοίᾳ μου ὁλοκλήρῳ καὶ (φ. 176α) συνεχοῦς διασκέψεως ἐλευθερῶ σε τὸν προρρηθέντα ὁδεῖνα τὸν Ρωμανίτην τοῦ εἶναί σε ἐλεύθερον παντελεύθερον Ρωμαῖον πολίτην ἀδούλωτον, ἐξάγειν ὅθεν καὶ ὅπου βούλῃ καὶ κατοικεῖν, διαπερῶν ὅθεν ἡ διάνοιά σου ἕλκῃ σε, καθὼς εἴης ἐλεύθερος παντελεύθερος

1. οὖσπερ τυραννική ἐκ τοῦ τυραννικῆ 3. χεῖρας ἀπλῶσας 7. οδ ἀρχὴ 10. ὠνισάμην 13. ποιῆσαι 14. εὕρω ἵλεον 15. κρείσεως 16. συνεχοὺς προῤηθέντα οδν 18. ὅθεν βούλει ὅθεν 19. σοὐέλκυσε

[1] Συνέχεια ἐκ τοῦ ΙΕ´ τόμου τοῦ νέου Ἑλληνομνήμονος σ. 165.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ῥωμαῖος πολίτης. Ὅστις δὲ βουληθῇ, ἢ ἐγὼ ἢ ἄλλος τις ἂν εἴη, ὁ τοιοῦτος μὴ ἴδῃ ἵλεων πρόσωπον θεοῦ, ἀλλ' ἕξει τὰς ἀρὰς τῶν τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων καὶ τὸ ἀνάθεμα. Ζημιοῦται δὲ καὶ εἰς τὸ βασιλικὸν βεστιάριον νομίσματα χρυσᾶ δέκα καὶ τῷ δημοσίῳ τὸ διαφέρον, ἑδραίου καὶ ἀπερικλονίτου τηρουμένης τῆς παρούσης νομικῆς ἐγγράφου ἐλευθερίας. ἑρμηνευθὲν τὸ ὕφος παρὰ νομικοῦ καὶ γραφέως ἐνώπιον τῶν κατευρεθέντων μαρτύρων, ἄνωθεν ἐμοῦ προτάξαντος καὶ ἐν τῷ τέλει ὑποτάξαντος.

## 60 (φ. 176α - β)

### *Αἰχμαλωτικὸν*

Ἀγαπητοὶ ἀδελφοί, οἱ τὴν ἐλπίδα ἔχοντες εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ῥυόμενον ἡμᾶς ἀπὸ πάσης ὀργῆς καὶ ἀνάγκης, ἱκανῶς βούλομαι ἀναμνῆσαι τὴν ὑμετέραν ἀγάπην καὶ δεῖξαι ὅτι μικρὰ διδόντες μεγάλων ἀξιούμεθα, πολλὴν ἐπιδείκνυσθαι δαψίλειαν περὶ τὴν ἐλεημοσύνην, ἵνα μικρὰ διδόντες μεγάλων ἀξιωθῶμεν. Ποῦ γὰρ ἴσον εἰπέ μοι ἀργύριον μικρὸν δοῦναι καὶ συγχώρησιν ἁμαρτημάτων κομίσασθαι, θρέψαι πεινῶντα καὶ παρρησίας ἀξιωθῆναι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τῇ φοβερᾷ καὶ ἀκοῦσαι τῆς βασιλείας ἀντάξια ῥήματα. Ἐπείνασα γὰρ καὶ ἐδώκατέ μοι φαγεῖν. Μὴ γὰρ ὁ σοὶ παρασχὼν τὴν τοσαύτην δαψίλειαν οὐκ ἠδύνατο κἀκείνου τὴν ἔνδειαν παραμυθήσασθαι; Διὰ τοῦτο γοῦν ἀφίησιν αὐτὸν τῇ πενίᾳ τρύχεσθαι, ἵνα κἀκεῖνος τῆς ὑπομονῆς πολὺν κομίσηται τὸν μισθὸν καὶ σὺ τὴν ἀπὸ τῆς ἐλεημοσύνης σαυτῷ προστεθῇς παρρησίαν. Εἶδες φιλανθρωπίαν δεσπότου, πῶς ἅπαντα διὰ τὴν ἡμετέραν οἰκονομεῖ σωτηρίαν; Ὅταν οὖν ἐννοήσῃς, ὅτι διὰ σὲ καὶ τὴν σὴν ὠφέλειαν ταῦτα γέγονε, μὴ παρέλθῃς ἀνηλεῶς, ἀλλὰ γενοῦ πιστὸς οἰ-
176β κονόμος τῶν παρὰ τοῦ δεσπότου σοι παρασχεθέντων, ἵνα || τὴν ἐκεί-

1. βουληθῇ τῖς 2. ἵλεον ἕξει Ἰ'Ι 5. τῶ διαφέρων ἀπαρακλονίτου τυρουμένης 7. κατ' εὑρεθέντων 9. αδελφοὶ 10. πᾶσης 12. ἀξιοῦμεθα δαψειλίαν 14. ἴσον ἁμαρτιμάτων 15. πεινόντα 17. μὴ' 18. τοσαύτην ἐκ τοῦ τόσσύτην δαψιλίαν 19. ἀφείησιν πενεία 20. πολλὴν 21. προαποθῇ 25. σοι ἐκ τοῦ σου

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

νου ἔνδειαν παραμυθησάμενος πολλὴν ἐπισπάσαι τὴν ἄνωθεν εὔνοιαν. καὶ δόξασόν σου τὸν δεσπότην, ὅτι διὰ σὲ τὴν καὶ τὴν σὴν σωτηρίαν συνεχώρησεν ἐκεῖνον ἐν πενίᾳ διάγειν, ἵνα σὺ δυνηθῇς ὁδὸν εὑρεῖν, δι' ἧς δυνήσῃ καὶ τὰ ἡμαρτημένα σοι ἀπονίψασθαι καὶ τὰ παρὰ τοῦ δεσπότου παρασχεθέντα καλῶς οἰκονομήσας τῶν ἐπαίνων ἐκείνων ἀξιωθῆναι. Εὖ δοῦλε ἀγαθὲ καὶ πιστὲ ἐπὶ ὀλίγα ἧς πιστός, ἐπὶ πολλά σε καταστήσω, εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου. Καὶ ἰδοὺ γνωστὸν ἔστω πᾶσιν ὑμῖν, ὡς ὅτι ὁ παρὼν ἀδελφὸς ἡμῶν τόδε ὁ ἐκ χώρας Πύργων ὁρμώμενος, καθότι ἐπορθήθη ἡ τοιαύτη χώρα παρὰ τοῦ αἱμοχαροῦς καὶ πάντας ἄρδην ἀπολλύντος ἔθνους ταταρικοῦ αἰχμαλωτίσθησαν μετὰ τοὺς λοιποὺς καὶ τὰ δύο τέκνα αὐτοῦ, ὁ δὲ πολλὰ ἀναζητήσας, μόλις εὗρεν αὐτὰ ἐν πόλει Νασαρίᾳ ἐν οἰκίᾳ Τατταδούλη, καὶ πολλὰ παρακαλέσας τὸν κύριον αὐτῶν, μόλις καμφθεὶς ἠθέλησε πωλῆσαι αὐτὰ καὶ ἐπεκόπη ἡ τοιαύτη τιμὴ ἄσπρα φν'. Τανῦν δὲ κατέφυγεν εἰς ὑμᾶς τοὺς ὁμοφύλους καὶ ὀρθοδόξους Χριστιανοὺς μετὰ καὶ τῆς ἡμετέρας γραφῆς ἵνα ὀρέξητε αὐτὸν χεῖρα βοηθείας καὶ ἀπεκβάλλειν τὰ αἰχμάλωτα αὐτοῦ, ὅπως τῶν ἐπηγγελμένων ἀγαθῶν ἐπιτύχοιμεν ἅπαντες ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

Μηνί.

καὶ ἡ ὑπογραφὴ τοῦ γραφέως

## 61 (φ. 177α)

Κατὰ τὴν ιη' τοῦ Αὐγούστου μηνὸς τῆς ωιζ' ἐγχρονίας ἡμέρᾳ Δευτέρᾳ τέλος τοῦ βίου ἐχρήσατο ὁ εὐγενέστατος μεσὺρ ζώης τῆναπλ ὁ αὐθέντης τοῦ Ἀρσουφίου.

1. ἐπισπᾶσαι 2. δῖασὲ 3. πενία δυνηθεὶς 4. δυνήσει καὶ τὰ δὶς 5. οἰκονόμήσεις 7. καταστῆσω 9. ὁρμώμενος 10. ἀπολῦντος 11. ταταρικοῦ ἐκ τοῦ τάταρικοῦ αἰχμαλωτίσθησαν 12. δὲ' ἀναζητῆσας 14. καμφθῆς 15. ὑμᾶς ὁμοφίλους 17. ὀρεξητε 18.. Πρὸ τοῦ ἅπαντες ἄλλο ἅπαντες διαγεγραμμένον 23-24. ἡμέρα δευτέρα ἄνωθεν 24. μεσυρ 25. ἀρ[?]σουφίου

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΤΖΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Κατὰ τὴν ε΄ τοῦ Ἰουνίου μηνὸς ἡμέρα ϛ΄ τῆς αιη΄ ἐγχρονίας ὥρᾳ ϛ΄ ἐφονεύθη ὁ ὑψηλότατος μεσὺρ Ἀμαρρὶ τὲ Λεζινία ὁ αὐθέντης τῆς Τύρου καὶ γκουβερνούριος τοῦ ῥηγάτου τῆς Κύπρου παρὰ καβαλλαρίου τοῦ Συμοῦν τε Μουντολὶφ εἰς τὴν ἑαυτοῦ τζάμπραν τῶν οἰκημάτων Λευκουσίας, κατὰ δὲ τὴν ϛ΄ ἡμέραν τῆς ἐπαύριον ἐκήδευσαν τὸ σῶμα αὐτοῦ εἰς τὴν καθολικὴν ἐκκλησίαν τῆς Ἁγίας Σοφίας.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## 62 (φ. 177α-β)

Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος Γεώργιος ὁδεῖνα ὁ ἐν τῷ χωρίῳ τῶν Λευκαρίων τῆς ἐνορίας Ἀμαθουσίας ὁρμώμενος, ἔτι δὲ καὶ Εὐφημία ἡ ὁμόζυγος αὐτοῦ καὶ οἱ τούτων παῖδες ὁδεῖνα καὶ ὁδεῖνα οἱ τὸν τίμιον σταυρὸν οἰκειοχείρως ἐν τῇ ἀρχῇ τοῦ ὕφους ἐγχαράξαντες εἰς πίστωσιν τῆς ἀληθείας καὶ τῶν ὑποτεταγμένων βεβαίωσιν τὸ παρὸν τῆς ἀληθείας πρατορίκιν ἔγγραφον τὸ ἔκ τινος ἀνάγκης ἢ βίας ἢ χλεύης ἢ δελεασμοῦ ἢ ἄλλης τινὸς τῆς οἱασοῦν αἰτιατικῆς προφάσεως, σὺν προθυμίᾳ σὺν μᾶλλον ἡμῶν καὶ καρδίας ἁπλότητι μετὰ νενοημένου σκοποῦ καὶ συνεχοῦς διασκέψεως. Καὶ γὰρ ἀμπέλιον κεκτήμεθα ἐν τῷ χωρίῳ Λάκκων ἐν τῇ τοποθεσίᾳ τοῦ Ἐπανωκάμπου στοίχων ἓξ μέσον τοῦ ἀμπελίου καὶ Ἰωάννου τοῦ Σεκρετικοῦ, ὃ ἔλαχεν κἀμοῦ τοῦ ῥηθέντος Γεωργίου ἐκ πατρικοῦ κλήρου, καὶ διὰ τὴν ἡμετέραν πτωχείαν καὶ ἀδυναμίαν ἀποροῦντος τούτου καὶ ἀφανίζοντος καὶ ἄλλῳ τρόπῳ διὰ τὸ κατοικεῖν ἡμᾶς ἐν τῇ Λευκουσίᾳ καὶ μακρὰν ἀπεχόντων οὐ δυνάμεθα ἐν τούτοις ἐργάζεσθαι· εἰσὶ γὰρ ἐν τόποις τρισὶ καὶ ἕνεκεν τούτου ἠβουλήθημεν ἐξ αὐτῶν ἐξωνῆσαι μέρος τι καὶ καλλιεργῆσαι καὶ ἐνδυναμῶσαι τὰ ἐπίλοιπα εἰς συμφέρον τῆς αὐθεντίας καὶ τῆς ἡμετέρας πτωχείας, καὶ πολλὰ ταλαντεύσαντες

2. ἐφωνεύθη 5. οἰκειμάτων 6. ἐκήδευσ 9. οδενω 10. ὀρμώμενος 10. δμόζυγος 11. οδνα καὶ οδνα 12. ἀρχὴ 14. τῖνὰς 15. οἱας· οὖν 15. αἰτιατικῆς. 16. ἀπλότητι νενοουμένου 17. κεκτίμεθα 18. επανωκάμπου ἓξ 19. ὃ 21. πτωχίαν ἀπωροῦντες 24. ἔνεκεν τούτου ἠβουλήθειμεν ἐξονῆσαι τῖ 25. καλλιεργεῖσαι

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ διακηρύξαντες οὐδένα εὕραμεν ὠνήσασθαι τὸ τοιοῦτον ρηθὲν ἀμπέλιον ‖ εἰς τὸ ἀρεστὸν ἡμῶν, εἰ μὴ σὲ τὸν Ἰωάννην τὸν Σε- φ.117r κρετικόν, καὶ παρακαλέσαντές σε ἵνα ποιήσῃς πρὸς τὸν κατὰ τὴν ἡμέραν πράκτορα τὸν μεσὺρ Ρολαντὸν τὲ Λαμπάμε, ἵνα παραχωρήσῃ τοῦτο διὰ τὴν ἡμετέραν πτωχείαν τοῦ γενέσθαι πρᾶσις εἰς τὸ ρηθὲν ἀμπέλιον καὶ νὰ μείνουν τὰ ἐπίλοιπα ἡμῶν ἀμπέλια. Ὃ καὶ πεποίηκας καὶ ἡμεῖς ἐπανεπαύθημεν καὶ εὐχαριστήσαμέν σοι. Καὶ ἰδοὺ καλῇ πίστει καὶ ἀρεσκείᾳ πιπράσκομεν τὸ τοιοῦτον ῥηθὲν ἀμπέλιον πρὸς σὲ Ἰωάννην τὸν Σεκρετικὸν καὶ πρὸς τὸ ἅπαν μέρος σου καθὼς καὶ πλησιάζει σου μετὰ δικαίου καὶ προνομίας αὐτοῦ εἰς νομίσματα ἑκατὸν, λαβόντες ταῦτα ἀπὸ τὰς χεῖράς σου ἔμπροσθεν τοῦ πράκτορος καὶ τοῦ σεκρέτου, καὶ ἐπαρεδώκαμέν σοι τὸ τοιοῦτον ρηθὲν ἀμπέλιον εἰς τελείαν σου δεσποτείαν καὶ κυριότητα ποιεῖν καὶ πράττειν καθὼς βουλητόν, οἷον πωλεῖν, χαρίζειν, προικίζειν, ἀνταλλάττειν καὶ ἁπλῶς εἴ τι δόξῃ σοι. Καὶ ἀπὸ τοῦ νῦν ἡμεῖς ἐκστάντες καὶ σὲ ἀποκαταστήσαντες καὶ ἡμεῖς ἀποδεσπόζοντες τοῦτο καὶ σὲ δεσπόσαντες καὶ εἶναι καὶ διαμένειν σε. Μᾶλλον καὶ διωρίσατο ὁ ῥηθεὶς πράκτωρ καὶ ἐγράφη ἡ παροῦσα πρᾶσις εἰς τὸ σέκρετον καθὼς γέγονε τῇ θελήσει ἡμῶν ἔμπροσθεν αὐτοῦ. Διὰ γὰρ τοῦτο καὶ τὸ παρὸν πρατορικὸν ἔγγραφον ἐμαρτυρήθη παρὰ τῶν κάτωθι δηλουμένων κριτῶν τῆς κατὰ τόπον αὐλῆς καὶ ἐβουλλώθη καὶ παρὰ τῆς σφραγῖδος τοῦ ρηθέντος ἄνωθι πράκτορος τοῦ μεσὺρ ῥολαντὸν τὲ Λαμπάμε τοῦ ἔχειν σε τοῦτο εἰς ἔνδειξιν καὶ ἀσφάλειαν. Ὅστις δὲ βουληθῇ ἐναντιῶσαι ἢ λογοπραγῆσαι ἢ ἀντιτεῖναι τὸ παρὸν τῆς ἀληθείας πρατορικὸν ἔγγραφον καὶ οὐκ ἐμμένει καὶ οὐ στέργει, ὅστις ἂν εἴη, ἴδιος ἢ ξένος, οὐ μόνον οὐ μὴ εἰσακούεται παρὰ παντὸς νοταρίου καὶ κριτηρίου, ἀλλ' ἐν τῷ μὴ εἰσακούεσθαι ζημιοῦσθαι καὶ εἰς τὸ βασιλικὸν βεστιάριον νομι-

1. διακηρύξαντες εὕραμεν ὠνίσασθαι 4. ῥολαν(τ') παραχωρίση 5. τούτο πτωχίαν πράσις 6. ὃ 8. καλὴ ἀρεσκία 11. Ἡ λαβῶντες χείρας 14. καθῶς 15. ἁπλῶς 17. σε διαμένειν 18. διόρίσατο πράσις 20. ἐμαρτιρίθη 22. σφραγίδος ἄνω• 23. μεσυρ ῥωλαν' 24. ασφαλειαν ὅστις βουληθή λογοπραγεῖσαι 25. οὐχ' 28. ζημειοῦθαι



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΛΟΓΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΙΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σματα κε' καὶ τῷ δημοσίῳ τὸ διαφέρον, ἑδραίου τηρουμένου καὶ ἀπερικλονήτου καὶ παρὸν καὶ ἀληθὲς πιπράσεως ἔγγραφον. Ἑρμηνευθὲν τὸ ὕφος παρὰ τοῦ νομικοῦ καὶ γραφέως παρὰ τοῦ ἑτέρου ταβουλλαρίου καὶ πρωτοϊερέως κυροῦ Ἀγαπίου ἄνωθεν ποιήσαντες τὸν τίμιον σταυρὸν ἐνώπιον τῶν ὑπογραψάντων μαρτύρων. Μηνί.

## **63** (φ. 178β)

### *Συστατικὸν*

Θεσπίσματος παλαιοῦ ἐκτεθέντος παρὰ τοῦ κορυφαίου τῶν Ἀποστόλων Πέτρου, γραφῇ δὲ τυπωθέντος παρὰ τῶν ἐν Νικαίᾳ θείων πατέρων, ὡς ἄνευ συστατικῶν γραμμάτων τοῦ χειροτονήσαντος ἐπισκόπου μὴ ἀπαίρειν τινὰς τῶν ἱερωσύνην ἐπειλημμένων εἰς ἑτέραν πόλιν, ὅπως μὴ κρίνωνται παρὰ τοῖς κοσμικοῖς καὶ πρόσκομμα γένηται τὰ ἱερὰ τοῖς ἀνιέροις, τούτοις τοῖς ἱεροῖς κανόσι καὶ θεσπίσμασι κανονισθεὶς ἐγὼ ὁ ἐλάχιστος μητροπολίτης ὑπέρτιμος Χαλκηδόνος Συμεών, τὸν εὐλαβέστατον Σαραπίωνα, μαρτυρηθέντος παρὰ τοῦ ἁγιωτάτου πατριάρχου Ἀλεξανδρείας κυροῦ Ἀθανασίου καὶ παρὰ τῶν εὐλαβεστάτων ἱερέων καὶ λαϊκῶν ἀξιολόγων τοῦ εἶναι αὐτὸν ἄμωμον ἐν πᾶσι σεμνῆς τε πολιτείας καὶ ὀρθῆς πίστεως, τοῦτον χειροτονήσαντες πρεσβύτερον, δεδώκαμεν αὐτῷ τὸ παρὸν ἀπολυτικὸν ὡς ἐκσφράγισμα τοῖς ἐντυγχάνουσι τοῦτον δέχεσθαι ἀσμένως καὶ μὴ ὑπολήψεσί τισι καθυποβάλλεσθαι ὡς ἑτερόδοξον εἴτε τὸν βαθμὸν ὑποκλέψαντα. Ἐγράφη καὶ ἐσφραγίσθη μηνὶ Μαρτίῳ ἐσχάτῃ ἰνδικτιῶνος α' τοῦ ϛωια' ἔτους.

† Ὁ Μητροπολίτης Χαλκηδόνος ὑπέρτιμος *Συμεὼν*

## **64** (φ. 179α)

### *Τάξις τῆς ψήφου ἐπισκόπου*

Μηνὶ Ἰανουαρίῳ κδ' τῆς ωκη' ἐγχρονίας ἐκαταλάβαμεν ἐν τῇ

1. τῶ διαφέρων 4. ἄνωϑ 7. γραφὴ 8. χειροτονήσαντος ἐκ τοῦ χειροτωνήσαντος 9. ἐπιλημμένων 10. πρόςκομα 12. κανονηθεὶς ελάχιστος 18. ἀπολιτικὸν 20. εἶτε 22. ἐγχρωνίας ἐκάταλαβαμεν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πόλει Νεμεσῷ ἡμεῖς οἱ κληρικοὶ τῆς ἁγιωτάτης ἐπισκοπῆς Ἀμαθουσίας, ὅ τε οἰκονόμος καὶ οἱ λοιποὶ καὶ ἐμφανίσαμεν τὸν θάνατον τοῦ ἐπισκόπου κυροῦ Ματθαίου ἐνώπιον τοῦ πανιερωτάτου ἐπισκόπου Νεμεσοῦ τοῦ φρὲ Παρατὶ (;) κατὰ τὴν ἡμετέραν συνήθειαν καὶ κατὰ τὴν περίληψιν τοῦ ὀρδινιασμοῦ τοῦ ἁγιωτάτου Πάπα Ἀλεξάνδρου. Ὁ αὐθέντης ἡμῶν ἐπίσκοπος Νεμεσοῦ, ὁ προρρηθεὶς φρὲ Παρατὶ διωρίσατο ἡμᾶς ἵνα ποιήσωμεν ἐκλογὴν καὶ ψῆφον ἐπισκόπου εἰς σῶμα τετιμημένον καὶ ἄξιον μετὰ παρακλήσεως τῆς χάριτος τοῦ ἁγίου Πνεύματος. Ἡμεῖς δὲ οἱ προρρηθέντες κληρικοὶ τῆς ἐπισκοπῆς Ἀμαθουσίας μετὰ πολυημέρου βουλῆς καὶ σκέψεως μετὰ ἀξιοπίστων καὶ λογίμων ἀνδρῶν τῆς ἡμετέρας ἐνορίας ἡγουμένων τε καὶ λαϊκῶν καὶ μετὰ παρακλήσεως τῆς χάριτος τοῦ ἁγίου Πνεύματος μετὰ ψαλμῳδίας καὶ δεήσεως ὁλονύκτου ὧδε κἀκεῖσε περιβλέψαντες καὶ διανοηθέντες, ἐρευνήσαντες ἀκριβῶς εὕρομεν ἄνδρα ἀρέσκοντα τοῖς πᾶσι σὺν θεῷ, τὸν ὁσιώτατον καθηγούμενον τῆς σεβασμίας μονῆς τοῦ κῦρ Ἐπιφανίου (;) κῦρ Γερμανόν, γένους καὶ κλήσεως ὀνομαστοῦ, ἄνδρα ἐκ νεαρᾶς ἡλικίας τῆς μοναχικῆς τάξεως ἀναθρεμμένον, εὐλαβῆ, σώφρονα, εὔτακτον, διοικοῦντα τὴν ἰδίαν μονὴν καὶ τοὺς μοναχοὺς εὐπρεπέστατα, γρήγορον, τῶν γραμμάτων ἔμπειρον, πρᾶον, δυνάμενον θεραπεῦσαι καὶ διοικῆσαι τὰ τῆς ἐπισκοπῆς.

Τοῦτον ζητοῦμεν, τοῦτον θέλομεν, τοῦτον ποθοῦμεν, τοῦτον ἀποδεχόμεθα, τοῦτον κοινῇ πάντες δοκιμάσαντες, ἐκλέξαντες καὶ σὺν θεῷ καὶ τῆς τοῦ ἁγίου Πνεύματος [χάριτος] ἐψηφίσαμεν ἀδωροδόκητα, ἀπροσωπόληπτα καὶ ἀπαράκλητα, καὶ εἷς ἕκαστος ἐξ ἡμῶν τῇ οἰκειοχείρῳ μαρτυρίᾳ ὑπέγραψε.

## 63 (φ. 179α)

### Ἡ τάξις τῆς ὑποταγῆς ἣν χρεωστεῖ

2. οἰκονόμων ἐμφανήσαμεν 4 (καὶ 7). παραιτ᾽ 6. προῤηθεὶς 7. διόρίσατο ψήφον 8. τετημημένον 9. προῤηθέντες 10. πολυήμέρου 11. ἐνώρίας 12. τὲ 13. ὀλονύκτου ὅδε κακεῖσαι 14. εὕρωμεν 15. καθ᾽ ἡγούμενον 16. πφ 17. ἡληκείας 18. εὐλαβὴν εὔτακτον διηκοῦντα 20. διηκεῖσαι 22. θέλωμεν 23. κοινοὶ 24. χάριτος προσέθηκα ἀδοροδόκητ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ Κ. ΘΕ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὁ ἐπίσκοπος Ῥωμαῖος πρὸς τὸν ἐπίσκοπον Λατῖνον
τῆς ἐνορίας ἐκείνης κατὰ τὸν ὀρδινιασμὸν τοῦ πάπα
ἔχει οὕτως·

Ἐγὼ ὁ ἐπίσκοπος ὁδεῖνα τῆς ἐνορίας τῆςδε ἀπ' αὐτὴν τὴν ὥραν καὶ ἔμπροσθεν πιστὸς νὰ εἶμαι καὶ ὑποτεταγμένος τῷ ἁγίῳ Πέτρῳ καὶ τῆς ἁγίας ῥωμαϊκῆς ἐκκλησίας, κυρίῳ δὲ ἐμοὶ ἐπισκόπῳ Νεμεσοῦ τοῖς κανονικῶς εἰσερχομένοις, οὐ μὴ εἶμαι εἰς βουλὴν νὰ χαώσῃ τὴν ζωὴν αὐτοῦ ἢ νὰ κρατηθῇ εἰς κακὴν κράτησιν. Βουλὴν ἣν δι' αὐτοῦ ἐμοὶ ἢ δι' ἀποκρισιαρίου ἢ διὰ γραμμάτων εἰς τὴν αὐτοῦ ζημίαν οὐδενὸς φανερώσω. Τὸ παπᾶτον τῆς ρωμαϊκῆς ἐκκλησίας καὶ τὴν ἀρχιερωσύνην τῆς ἐκκλησίας Νεμεσοῦ καὶ τὰς τάξεις τῶν ἁγίων πατέρων βοηθὸς νὰ εἶμαι καὶ διεκδικητὴς καὶ φυλακτής. σωζομένης τῆς χειροτονίας μου κατὰ παντὸς ἀνθρώπου. Κληθεὶς εἰς σύνοδον ἔρχεσθαι καὶ μὴ κωλυμένος ὑπάρχω κανονικὴν κώλυσιν. Τὸν λεγᾶτον τοῦ ἀποστολικοῦ θρόνου ὃν κύριον ὑπάρχειν ἐγνωρίσω ἐρχόμενον καὶ ὑποστρέφοντα τιμῆσαι ἐνεργῆσαι καὶ εἰς τὰς χρήσεις αὐτοῦ βοηθῆσαι. Οὕτως νὰ μᾶς βοηθήσῃ ὁ θεὸς καὶ τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια.

## 66 (φ. 180α)

Μηνὶ Μαΐῳ τῆς ,σχ..ω ἐγχρονίας ἰνδικτιῶνος η' ἐκατέλαβαν οἱ Λατίνοι εἰς τὴν Κύπρον.

Μηνὶ Ἀπριλλίῳ αῃ (=πρώτῃ) τῆς ,στψια ἐχρονίας ἰνδικτιῶνος ς' περὶ ἐκύκλωσαν τὴν πόλιν.

ω

Μηνὶ Μαΐῳ ιθῃ ἡμέρα Τετράδη τῆς ,σψλθ' ἐχρονίας ἐτελιόθησαν διὰ πυρὸς οἱ μοναχοὶ Ἰωάννης Ανανιας καὶ Κώνον καὶ οἱ μετ' αὐτοῦ

Μηνὶ Ἰουλίῳ κδ' τῆς ,σψμς' ἐχρονίας γεγονεν ημῶν ὑποταγη

Μηνὶ Μαΐῳ ια' ἡμέρα Τετράδη ὥρα ἔκτη γεγώνεν ἡ θεόηλατος ὀργὴ μεγάλου σεισμοῦ εἰς τὴν ,στψλ ἐχρονίαν.

1. λατίνον 2. ἐνωρίας 4. υόν ἐνώρίας 5. εἶμε 7. κανώνικῶς 8. κρατηθ ἦν 10. οὐδένός παπάτον 12. διεκδικητῆς φυλακτῆς. 13. χειροτοννίας 14. κανωνικὴν 15. λεγάτον 16. ἐρχώμενον ἐνεργεῖσαι 17. μὰς βοηθήσει

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

**67** (φ. 98α)

Ἡ ἀποκοπὴ τῶν ψωμίων ὧν ἤρξαντο ἀπὸ τὸν καιρὸν τῆς ε' ἰνδικτιῶνος τῆς μ' ἐγχρονίας.

Εἰς τὴν ὀρεινήν.

Νὰ καταγράφεται ἡ λογαρικὴ εἴσοδος ὅλη, τὰ εἰσοδήματα ὁμοίως τῶν παρελθόντων τριῶν χρόνων, καὶ ἀπ' αὐτῆς τῆς ὁμάδος νὰ κρατήσῃς τὸ γ'' καὶ εἴτι εὑρεθῇ νὰ λογαριασθῇ οὕτως. Τὸ σιτάριν μόδια ας'' εἰς τὸ ὑπέρπυρον, τὸ κριθάριν μόδια βς'' εἰς τὸ ὑπέρπυρον, τὸ κρασὶν τὰ ρ' μέτρα ὑπέρπυρα νε', τὴν ποτίμην γῆν μόδια ας'' υ'' εἰς τὸ ὑπέρπυρον, τὴν ἐργασμένην γῆν μόδια γς'' εἰς τὸ ὑπέρπυρον καὶ τὴν χέρσον γῆν μόδια ζ' εἰς τὸ ὑπέρπυρον. Εἰς δὲ τὴν ὁμαλὴν γῆν καὶ κάτω μερέαν ὅλην ὀφείλει ποιεῖν οὕτως.

Ὁ ζευγαράτος ὑπέρπυρα ξ', ὁ μονοδοΐδάτος ὑπέρπυρα μ', ὁ πεζὸς ὑπέρπυρα κ', ὁ ἐν ἡλικίᾳ παῖς ὑπέρπυρα ιε', ὁ ἱερεὺς ὑπέρπυρα κ', ἡ χήρα ὑπέρπυρα ς', εἰ ἔχει ζευγάριν ὑπέρπυρα μς', εἰ δὲ ἥμισυ, ὑπέρπυρα ς' ἡ ποτίμη γῆ μόδια ας'' υ'' εἰς τὸ ὑπέρπυρον, ἡ ἐργασμένη μόδια γς'' εἰς τὸ ὑπέρπυρον, ἡ χέρσος μόδια ζ' εἰς τὸ ὑπέρπυρον. Ὀφείλει ἔχειν ὁ ζευγαράτος γῆν μοδίων μ', ὁ μονοδοΐδάτος μοδίων λ' καὶ ὁ πεζὸς μοδίων κ'· Ὁμοίως ἐὰν ἔχῃ εἰς τὸν τόπον καὶ ἀμπέλιν τῶν παροίκων ἵνα ψηφίζεται οὕτως· τὸ υγ τοῦ ζευγαρίου ἤγουν τὸ ἐπαίρει ἡ αὐθεντία ὑπέρπυρα μ' καὶ τὸ ἄνοικον αὐτοῦ δημόσιον. Ὁμοίως ἐὰν ἔχῃ χανούτιν, περιβόλιν ἢ ἄλλο τι ἵνα ψηφᾶται : —

Χρὴ γινώσκειν καὶ τὰ δημόσια τῆς γῆς ὑπάρχωσιν οὕτως. Ἡ πρώτη πότιμος μοδίων μη εἰς τὸ ὑπέρπυρον, ἡ δευτέρα πότιμος μοδίων ρ' εἰς τὸ ὑπέρπυρον, ὑποπότιμος ὁλοχαιρινὴ μοδίων λ' εἰς τὸ ὑπέρπυρον· ὑποπότιμος χειμερινὴ μοδίων μ' εἰς τὸ ὑπέρπυρον. Τὰ ὑπάμπελα μοδίων κ' εἰς τὸ ὑπέρπυρον καὶ ἐλαιῶν λ' εἰς τὸ ὑπέρπυρον : —

3. ὀρϊνὴν 4. τὰ εἰσοδ' 4. καταγραφεται 5. σιτ 7. κρθ 8. γὴν 15. ἔχει 21. ἐπέρη 22. χανου'τ τί 24. χρῖ 25. ὑπ ὑποπτ (καὶ κατωτέρω) 26. ὑπαμ

Ὀφείλει δὲ ἔχειν τὸ μῆκος τοῦ σχοινίου τῆς μέτρας καθὼς τὸ ἔταξαν κάννας ΙϚ γ



Πανομοιότυπον τοῦ φ. 98α.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## 68 (φ. 164α)

### Ἑρμηνεία εἰς ἀποκοπὴν ψωμίου τῆς κάτω μερέας.

Νὰ καταγράφονται οἱ ζευγᾶτοι καὶ οἱ μονοβοϊδᾶτοι καὶ οἱ πεζοί, ἐπὰν δὲ καταγράψῃς τούτους καὶ ποιήσῃς τὴν ὁμάδα τούτων, ἵνα καταγράψῃς καὶ τὴν γῆν ὅλην τοῦ χωρίου πόσων μοδίων ὑπάρχει ἔκτοτε ἵνα ἐπιδώσῃς· τοῦ ζευγάτου μόδια μ΄ τοῦ μονοβοϊδάτου λ΄ καὶ τοῦ πεζοῦ μόδια κ΄ καὶ ὀφείλεις ψηφίζειν τὸν ζευγᾶτον ii ξ΄. τὸν μονοβοϊδᾶτον ii μ΄ καὶ τὸν πεζὸν ii κ΄· τὴν δὲ λοιπὴν γῆν ὅσην ὑπομείνῃ μετὰ ταῦτα ἱκανώσειν τούτους καθὼς ἄνωθεν δεδηλώκαμεν ἵνα ψηφίσῃς· τὴν πότιμον γῆν μοδίων ασν εἰς τὸ ii τὴν ἐργασμένην ΓϹ,, μοδίων εἰς ii καὶ τὴν χέρσον ζ΄ μοδίων. Ποιήσωμεν οὖν τοῦτο ὡς ἐν παραδείγματι. Ηὕραμεν εἰς προ̄ (=Προάστειον;) ζευγάρια ιαϹ καὶ γῆν μοδίων αῦϞζ΄ ἤγουν ἐργασμένην μοδίων ατξζ΄ καὶ χέρσον μοδίων ρλ΄.

ἤγουν

| | | |
|---|---|---|
| ὑπέρπυρα ζευγάρια ιαϹ΄΄ | ὑπέρπυρα τῆς λοιπῆς γῆς | ὑπέρπυρα τῆς ἐπέσας χέρσου |
| καὶ γῆν μοδίων νο ii ψ | τῶν ωϞζ μοδίων iiσνϚ κοκε | γῆς τῶν λρ΄ μοδίων ii ιη κοκ ιγ΄ |

ii ρ̄οδϹ U

ἀφ' ὧν δεκατικὰ

## 69 (φ. 158α-β)

Ἡ ἀνθρωπίνη ἀσθένεια, πολλῶν ἐλαττωμάτων ἔμπλεως οὖσα δεῖται τοῦ ὑπεριδόντος καὶ συνετίζοντος καὶ διδάσκοντος καὶ πρὸς τὴν τῶν ἡμαρτημένων κεραννεῖ ἑνὶ ἑκάστῳ τὸ φάρμακον, ἵνα δι' ἑαυτοῦ ἀποκλείσας τὰ ἐντὸς τὸν νοῦν ἐπιθολοῦντα καὶ τὴν ψυχὴν καθαρὰν τῷ καθαρῷ ἐποφθείη, μετὰ τοῦ προφητου Δαυὶδ θαρροῦντες

1. να 2. ἐπ' ἂν καταγράψεις ὁμάδα 3. καταγράψεις 4. ἐπιδώσεις 5. παιζ ὀφείλεις 6. παιζὸν 7. ἱκανώσην καθῶς 17. ἀφῶν 18-19. ἐλλαττομάτων ἔμπλεος οὖσα δεῖτε 19. ὑπερειδόντος 20. κερανὶ ἐνὶ 21. ἑαύτοῦ ἀποκλεῖσας 22. ἐποιφθείη

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

βοῶμεν τὸ Εἶπα ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου. Ἱκανὸν τοίνυν εὑροῦσα ἡ μετριότης μου σὲ τὸν ἱερομόναχον κῦρ ὁδεῖνα ἀνατίθημί σοι τὴν ἱερὰν καὶ ὁσιωτάτην διακονίαν, ὅπως προσάξῃ θεῷ τοὺς προσερχομένους σοι ἐν τῇ θεοσώστῳ πόλει τῇδε, ὡς προτρεπόμενος παρ' ἐμοῦ τὸ ἀσφαλὲς καὶ ἐνδόσιμον παρὰ τῆς ἡμῶν μετριότητος κεκτημένος καὶ ὅντινα δήσεις ἐπὶ τῷ αὐτῷ ἐγκλήματι ἔστω δεδεμένος καὶ ὅντινα λύσεις ἔστω λελυμένος. Ὠφελείη δὲ καὶ μοναχοὺς κουρεύειν ὅπου δ' ἂν καὶ δεηθοῦν σε. Ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν ἔνταλμα ἐξ ἐπιτροπῆς ἡμετέρας γραφὲν ἐπεδόθη σοι εἰς ἔνδειξιν καὶ ἀσφάλειαν. Μηνὸς.

Καὶ κάτωθεν ἡ ὑπογραφὴ τοῦ ἀρχιερέως.

## 70 (φ. 158β)

Τὸ τοὺς γονεῖς σέβεσθαί τε καὶ τιμᾶν θεῖος νόμος παρακελεύεται ὡς αἰτίους ὄντας μετὰ θεὸν τῆς τῶν τέκνων γενέσεως. Εἰ δέ γε τιμᾶν τοὺς ἡμετέρους γονεῖς καὶ σέβεσθαι διὰ νόμου παρακελευόμεθα, τίς μοι χάρις μηδὲν πλεῖον παρὰ τὸ διατεταγμένον ποιοῦντι; Εἰ γὰρ καὶ τοῖς πᾶσι μὴ ἦν τοῦτο νενομοθετημένον, ἔδει ἂν ἐμὲ τοῦτο ποιεῖν τῶν τοιούτων πανευγενῶν καὶ πανενδοξοτάτων ἀξιωθέντι γεννητόρων καὶ πανευμέγεθες ὄνομα κεκτημένῳ τὴν εὐπατρίαν. Ἀλλ' ἐπειδὴ οὐδ' ἂν ποτέ τι δυνήσομαι ἄξιον ὑμῖν προσενέγκαι τοῖς ἐμοῖς γεννήτορσιν, ὑπὲρ ὧν αὐτοὶ εἰς ἐμὲ κεκοπιάκατε καὶ κοπιᾶτε τοῦτο μόνον ἐκ θεοῦ ἐξαιτῶν ἐπεύχομαι, τὸ τῆς ὑμετέρας τυχεῖν εὐχῆς καὶ ἀξιωθήσεσθαι θεάσασθαι εἰς ἐμὲ ἅπερ ὑμεῖς ἐπεύχομαι. Τανῦν δέ σε τόν πανενδοξότατον καὶ πανυπέρτιμον πατέρα μου κῦρ Κωνσταντῖνον τὸν σεκρετικὸν ὁ γλυκύτατος καὶ περιπόθητός σου υἱὸς Ἰωάννης κατασπάζομαι καὶ εὔχομαι ἐν Κυρίῳ τοῦ ὑγιεινῶς καὶ εὐρώστως διάγειν σε ἐπὶ μονάς σε διαφυλάττοντα.

1. εἶπαι ἐξαγωρεύσω 2. ἱκανὸν 3. ἀνατίθημι ἐκ τοῦ ἀνατίθημει 5. τῆνδε 6. ἐνδώσημον 7. ὄντινα δίσεις τὸ αὐτὸ 8. ὄντινα λελυμμένος 9. τοῦτο 10. ἔνταλμαν ἐπεδώθη 14. τοῦς διανόμου 15. μήδὲν 16. τοὶς μη 17. ποιεῖ τῶ 18. γενητόρων 19. δυνήσωμαι ἡμῆν 20. ὑπερ . 21. ἐξαιτῶν 22. ἀξιωθήσεσθε ἐμαὶ 25. κατάσπαζωμαι 26 ὑγεινῶς ἐπειμονὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΙΕΤΕΡΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## 71 (φ. 159α)

Πανενδοξότατε, πανυπέρτιμε, παμμέγιστε, πάσῃ φρονήσει κεκοσμημένε, περιφανέστατε δοῦλε τοῦ πανυψηλοτάτου καὶ κραταιοτάτου ἁγίου βασιλέως ἡμῶν καὶ μέγα διερμηνευτὰ κῦρ Ἰωάννη κουβουκλίσιε, ἡμέτερε δὲ κατὰ πάντα ἐρασμιώτατε αὐθέντα καὶ γνησιώτατε φίλε, ἐν Κυρίῳ θεῷ σε χαίρειν καὶ εὐθυμεῖν ἐπεύχομαι πάντοτε ὁ σὸς κατὰ πάντα Ἰωάννης ὁ τοῦ σεκρετικοῦ, ἐπιποθῶν ἐγγυτίζεσθαι μετὰ τῆς θεοφιλοῦς ὑγείας σου καὶ τὰς τοῦ κραταιοτάτου βασιλέως ἡμῶν χάριτας καὶ εὐμενείας ἀδιαλείπτους ὑπάρχειν ἐπὶ σέ. Ἔστω δὲ γνωστὸν τῇ ἀντιλήψει σου περὶ τῆς ὑποθέσεως ἧς ἐδήλωσας πρὸ καιροῦ ὡς ὅτι ἐν σπουδῇ ἐσμέν.

## 72 (φ. 159α)

Ὅσα τε περὶ βίου λαμπρότητος καὶ ἀρετῶν ἀκρότητος καὶ λόγων . . . , ἐπεὶ καὶ τοσοῦτον ὡς εἰκός σε τῇ ἀποστολικῇ καθέδρᾳ καθίδρυσεν ὁ Κύριος, παναγιώτατε καὶ μακαριώτατε πατριάρχα Θεουπόλεως μεγάλης Ἀντιοχείας καὶ ἡμέτερε κατὰ πνεῦμα πάτερ, οὐκ ἂν δυνηθείμην πώποτε κἂν μόνον ἀπάρξεσθαι διηγεῖσθαι, ὡς ἀσθενέστατον καὶ πάνυ ἐμαυτὸν συγγινώσκων τῷ τοιούτῳ ἐγχειρήματι.

## 73 (φ. 159α)

Χαίρειν καὶ εὐθυμεῖν σε ἐπεύχομαι, πανενδοξότατε καὶ λογιώτατε κῦρ ὁδεῖνα, ἐπεὶ καὶ ἡμεῖς τῇ τοῦ θεοῦ μακροθυμίᾳ ζῶμεν ὑπὲρ ταῖς πολλαῖς προσβολαῖς τῶν ἐπισυμβάντων ἡμῖν ἀνιαρῶν κατατρυχόμεθα. Ἐλπίζομεν δὲ εἰς τὸ τοῦ θεοῦ ἔλεος ὡς διασκεδασθείησάν ποτε δι' εὐχῶν ὑμετέρων αἱ τοιαῦται ἀνίαι ἀφ' ἡμῶν.

## 74 (φ. 159α-β)

Οὐκ ἔχω διὰ γραφῆς ἐκφάναι τὴν τῆς ἡμετέρας καρδίας προ-

2. δούλε 4. ἐρασμιότατε 5. γνισιότατε 7. θεοφιλοὺς 10. προκωροῦ 11. ὅσα 12. αἰσχη'με 16. τοιοῦτω 19. ἐπεὶ 20. ἡμὴν 22. αἱ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

θυμίαν, ὅπως ἐνδιετέθη πρὸς τὸν σὸν ἔρωτα, ὦ πάντων φίλων ἐμοὶ ἐρασμιώτατε κῦρ δεῖνα. Ἀδιαλείπτως γὰρ ἐνοπτρίζομαι σὺν σοὶ παρεῖναι καὶ σοὶ διαλέγεσθαι, καὶ κἂν θέλων καὶ μὴ θέλων μνημο-
φ. 159β νεύειν σου διηνεκῶς οὐ διαλείπω, ‖ καὶ μὴ θεωρῶν σε δοκῶ θεωρεῖν σε.

## 75 (φ. 159β)

Εὖ οἶσθα, ὅτι τὴν σὴν διάζευξιν χωρισμὸν τῆς ἡμετέρας ψυχῆς ἐκ τοῦ σώματος ἡγοῦμαι, ἐπεί, εἰ καὶ τὸ φαινόμενον ἔοικα ζῶν μετὰ τὸν σὸν χωρισμόν, ἀλλ' ὅμως θανάτου τὴν τοιαύτην ζωὴν ὑπολαμβάνω.

## 76 (φ. 159β)

Πανενδοξότατε, πανυπέρτιμε, πάσης φρονήσεως καὶ χάριτος θείας ἀνάπλεε, κῦρ δεῖνα, ἡμέτερε δὲ κατὰ πάντα γλυκύτατε αὐθέντα καὶ φίλε εἰς Κύριον τὸν θεὸν πέποιθα, εἰς ὃν καὶ διηνεκῶς τὰς εὐχὰς ἀνατείνω τοῦ ὑγιαίνειν σε ψυχῇ τε καὶ σώματι καὶ εὐθηνίᾳ βίου καὶ λαμπρότητι διεξάγειν τὸν βίον, σκεπτόμενος τῇ δεξιᾷ χειρὶ τοῦ ἐπουρανίου βασιλέως ἀπὸ παντοίας προσβολῆς ἐναντίων ἀπήμαντος.

## 77 (φ. 159β)

Φίλου πιστοῦ οὐκ ἔστιν ἀντάλλαγμα τῶν ὄντων οὐδέν. Καὶ γὰρ ἀκριβῶς, ὡς ἔοικεν, ἐπὶ σὲ πεπλήρωται τουτὶ τὸ λόγιον, ἐρασμιώτατε, καὶ φίλων ἐμοὶ τιμιώτατε φίλε. Τὴν γὰρ ψυχήν σου τέθεικας τῆς καλλίστης ἀγάπης ὑπὲρ ἐμοῦ.

## 78 (φ. 159β)

Ἐγὼ μὲν καὶ πρώην, ἐνηχούμενος τὰς σὰς θεοφιλεῖς καὶ ἐναρέτους πολιτείας, ἐνηδούμην καὶ ἔχαιρον, νῦν δὲ καὶ ἡ τῆς γλυκυτάτης καὶ πανηδίστης γραφῆς σου παρουσία τόσον με . . . . (μένει ἀτελές).

2. συνσοί σω 6. ἦσθα διάζευξην 12. διἠνεκῶς 20. ὑπερεμοῦ 23. μει

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

**79** (φ. 159β)

Χαίρω μὲν καὶ εὐφραίνομαι ὡς οὐδεὶς ἄλλος ἐπὶ τῇ σῇ παρουσίᾳ, ἀνιῶ δὲ καὶ οὐ μικρὸν ἐπὶ τῇ σῇ διαζεύξει, ὦ φίλων ἐμοὶ τιμιώτατε, ἐρασμιώτατε κῦρ ὀδεῖνα. Ἐπεὶ γὰρ ἐλύληθας οἷά τι τερψίθυμον ἔαρ πρὸς ἡμᾶς τοὺς καταπακέντας καὶ καταψυχθέντας ὡς ὑπό τινος δριμυτάτου χειμῶνος ταῖς καταλαβούσαις ἡμᾶς περιστάσεσι... (μένει ἀτελές)

**80** (φ. 159β)

Πανοσιώτατε καὶ ἰσάγγελε καὶ πνευματικὲ ἡμῶν πάτερ ἱερομόναχε κῦρ ὀδεῖνα τὴν ἐδαφιαίαν μετάνοιαν ἀπονέμω τῇ σῇ ἁγιότητι ὁ ἔσχατος δοῦλος τῶν σῶν ἁγίων εὐχῶν Ἰωάννης ὁ Ἀρμενιακόπουλος.

**81** (φ. 159β)

Πανηγαπημένε μοι φίλε ἐν Κυρίῳ κῦρ ὀδεῖνα, πέποιθα εἰς Κύριον τὸν θεὸν τοῦ ὑγιῶς διάγειν σε, ἐπειδὴ καὶ ἡμεῖς ὑγιαίνομεν τῇ τοῦ θεοῦ χάριτι.

**82** (φ. 160α)

Καὶ τίς σου ἡδίων εὑρεθήσεταί ποτε, γλυκύτατε φίλε; Ὑπὲρ γὰρ μέλι γλυκάζειν δύνουσι τὴν ἐμὴν καρδίαν οἱ σοὶ ἐκχεόμενοι ἀπὸ γλυκυτάτου στόματος γλυκύτατοι λόγοι, εὐφραίνεις δέ με ταῖς γλυκυτάταις ὁμιλίαις σου καὶ καταπραΰνεις ταῖς παραινέσεσι τὸν ἡμέτερον λογισμὸν θορυβούμενος καὶ πάντα πρὸς τὸ συμφέρον ποιεῖς.

**83** (φ. 160α)

Ἐπειδεὶ τὰ τῆς σῆς γλυκυτάτης ὄψεως, ἐρασμιωτάτῳ κάλλει οἷον ἅτε σιδήριον ὑπὸ τῆς ψηφίσιος προσεξελκόμενον. Οὐκ ἀνέχομαι τοῦ μὴ ὁσοῦν σε καὶ ὑπὸ σοῦ φωτίζεσθαι καὶ ἀναψυχὴν τῶν ἐμπαθῶν λογισμῶν † . . .(μένει ἀτελές).

4. κατάτακέντας κατάψυχθέντας 7. ἰσάγγελε ἱέρομχ 8. ἁγιότητι Ἐν τῇ ὤᾳ πλαγίως. 11. ὑγειῶς 13. εὑρεθήσεταί ὕπερ 16. κατάπραΰνεις παραινέσεσος θορυβούμενοι 18. ἄτε 19. πρόςἐξελκόμενον ἄνέχομ 20. φωτίζεσαι

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

**84** (φ. 160α)

Πανοσιώτατε καθηγούμενε τῆς σεβασμίας μονῆς τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου τοῦ Μαχαιρᾶ καὶ ἡμέτερε κατὰ πάντα πνευματικὲ πάτερ καὶ εὐχέτα ἱερομόναχε κῦρ ὀδεῖνα, πέποιθα εἰς κύριον τὸν θεὸν τοῦ ἐν ὑγείᾳ καὶ εὐρωστίᾳ διατηρεῖν σε τῷ σώματι. Τὴν γὰρ ψυχὴν εὖ οἶδα καλῶς ὑγιαίνειν σε ὡς διηνεκῶς καταλαμπομένην ταῖς θεωρίαις τοῦ πνεύματος. Ἔστω δὲ γνωστὸν τῇ ἁγιωσύνῃ σου περὶ ὧν μοι δεδήλωκας . . . (μένει ἀτελές).

**85** (φ. 160α)

Μέχρι τίνος ἀνεξόμεθα τὴν σὴν ἐνδημίαν, τιμιώτατε δέσποτα; Ἐξέλιπον ἡμῶν οἱ ὀφθαλμοὶ διηνεκῶς τὰς ὁδοὺς ἐπιτηροῦντες πόθεν σε ἀποδεξόμεθα. Ὁ δὲ νοῦς ἤλγησεν ἀπὸ τῶν πολλῶν ἐννοιῶν τὴν ἀσχόλησιν καὶ παρὰ βραχὺ κατεπόθημεν ἂν ὑπὸ τῶν φροντίδων, εἰ μὴ φθάσασα ἡ τιμία σου γραφὴ ὀλίγον ἡμᾶς ἀνεκτήσατο.

**86** (φ. 160α)

Ἔρως μοι ἐγκάρδιος πρόσεστιν αἰσθητοῖς ὀφθαλμοῖς προσιδεῖν καὶ προσλαλῆσαι, τιμιώτατε φίλε κῦρ ὀδεῖνα, ἐπειδὴ ἐξ ὅτου διέστην τῆς σῆς ὁμιλίας οὐ δύναμαι ὅλως γαληνιᾶν ἐκ τῶν ἐπεμβαινόντων μοι ἀνιαρῶν ἐνθυμήσεων, τίς τε γέγονας, πῶς δὲ διάγεις
160β καὶ πῶς τὰ κατὰ σὲ πάντα διάκεινται. Οὐ μὴν ‖ ἀλλὰ καὶ περὶ τῶν ἐμῶν μεριμνῶν, αἵ σε περιέχουσιν πῶς τε διάγω καὶ πῶς διάκειμαι ὡς ἀνιᾶσθαί σε πεποιθὼς ἐν θλίψει διάγω.

**87** (φ. 160β).

Πολλὰ θαυμάζομαι ἐπὶ τῇ σῇ ἀγάπῃ πῶς οὐκ ἐμνήσθης μου διὰ τὸ τούτου μακροῦ χρόνου. Καὶ γὰρ ἤδη τριετίαν ἔχων ἀφ' οὗ ἀπ' ἀλ-

2. μαχερά 4. ὑγείᾳ 5. ὑγειαίνειν καταλαμπομένην 7. περιῶν 11. παραβραχὺ κατ'ἐπόθημεν 12. ὀλίγον 13. πρόσεστην 16. ἀνιαρὼν 18. περιέχουσην ἐκ τοῦ περιέχουσαν 20. πεποιθῶς 20. οὐκεμνήσθης 21. τὸ ἐκ τοῦ τῆς 22. ἀπαλλήλων

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λήλων διέστημεν, οὐδαμῶς μοι παρὰ σοῦ τι κἂν μικρὸν γραμμάτιον παρεγένετο, ὅπερ καὶ θαυμάζω καὶ λίαν φροντίζειν οὐκ ἐῶ.

**88** (φ. 160β)

Ὥςπερ κίβδηλος καὶ θεοστυγὴς ἡ πίστις, οὕτω καὶ τὸ βάπτισμα τούτων καὶ πᾶν σαπρὸν δένδρον καρπὸν οὐ ποιεῖ ἐκκόπτεται καὶ εἰς πῦρ ἐμβάλλεται, καθὼς ὁ Κύριος ἀπεφήνατο.

**89** (φ. 160β).

Εἰ βούλει, ὦ παιδίον, δι' ὀλίγον αἶνον μέτοχος γίνεσθαι πλείστων αἴνων, ἀγάπα τὸ μελετᾶν, ἐπαγρύπνει τὸ κοπιᾶν καὶ προσέχειν τῇ διηνεκεῖ ἀναγνώσει. Οὕτως γὰρ καὶ οὐκ ἄλλως ποιῶν ἐπιτύχῃς τῶν καθ' ἵμερον.

**90** (φ. 160β).

Πόνοι γεννῶσι δόξαν καὶ κάματοι προξενοῦσι ταινίας, ὥσπερ φη- ὁ μέγας Βασίλειος, καὶ χωρὶς πόνων οὐδὲν κατορθοῦται χρηστόν. Εἰ δὲ τοῦτο ἀληθές, πονεῖτε καὶ ὑμεῖς, ὦ παῖδες, καὶ φιλεῖτε τὴν μελέτην καὶ τῇ ἀναγνώσει πρόκεισθε, ἵνα σοφώτατοι γένησθε.

**91** (φ. 160β)

Λύχνος τοῖς ποσί μου ὁ νόμος σου καὶ φῶς ταῖς τρίβοις μου, φησὶν ὁ θεῖος Δαβίδ. Εἰ γοῦν βούλει καὶ σύ, ὦ παιδίον, ἐν φωτὶ διατρίβειν καὶ ἐν φωτὶ διαπορεύεσθαι, τὸν φόβον τοῦ θεοῦ ἔχε ἐν καρδίᾳ καὶ τῷ νόμῳ αὐτοῦ πράττε τὰ καθήκοντα, ὅπως ᾖ σου τὰ ἔργα ἐν φωτί.

**92** (φ. 161α)

Κόποι, πόνοι, θλίψεις τε καὶ κακουχίαι, ἀποδράσατε νῦν ἀπὸ τοῦ μέσου, καὶ εὐφροσύναι καὶ πᾶσαι θυμηδίαι δεῦτε προθύμως εἰς

1. οὐδάμῶς 2. οὐκεῶ 3. θεοστυγῆς 4. πᾶν 5. καθῶς 6. ὀλίγον ἕνον 9. καθίμερον 10. ταινίας δὲν φαίνεται ἔχον ὀρθῶς ὥσπερ φησὴν 13. σοφότατοι 14. ὁνομος 16. διαπορευεσθαι 19. τὲ νῦν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μέσον προσέλθετε. Λάμψον γλυκασμοῦ ἥλιε ξενοτρόπως τοὺς τῷ νοητῷ χείματ' ἐστυγνωμένους καταψυχοῦντας ἀνάτειλον ἀκτῖνας.

**93** (φ. 161α)

Ὅσον ἐπεύφρανας ἡμᾶς φίλε, τῇ παρουσίᾳ τῆς γλυκυτάτης σου γραφῆς. Ὡς γὰρ γλυκάζον μέλι ταῖς ἡμετέραις καρδίαις τὰ ἑαυτῆς ἡδύτατα λόγια ἐναποστάξασα πᾶσαν πικρίαν πόρρω ἀπήλασε καὶ πάσης εὐφροσύνης ἡμᾶς ἐνέπλησε. Αὐτὸ γὰρ ἐδοκοῦμεν εἶναι τὸ χαριτόβρυτον στόμα. ὡς ἔθος ἐπάρδον ἡμᾶς τοῖς γλυκυτάτοις λόγοις καὶ νουθεσίαις.

**94** (φ. 161α)

Τέκνον πνευματικὸν ὁδεῖνα, εἰ μὲν ἐγίνωσκες ἀκριβῶς τὸν τῆς νεότητος καιρὸν ὁποίων καὶ πόσων ἀγαθῶν πρόξενος τυγχάνει τοῖς σπουδαίοις, οὐκ ἂν τοσοῦτον ἠμέλεις· καὶ γὰρ ὁ μὴ σπουδάζων ἐν θέρει συλλέγειν καρποὺς τῷ καιρῷ τοῦ χειμῶνος μεγάλως κακοπαθῶν θλιβήσεται. Οὕτω καὶ ὁ μὴ σπεύδων ἐν τῇ νεότητί αὐτοῦ συλλέγειν καὶ θησαυρίζειν τὰ μαθήματα ἐν ἑαυτῷ τῷ καιρῷ τοῦ γήρους μεγάλως μεταμεληθήσεται. Καὶ γὰρ μία ὥρα τῆς νεότητος μειζοτέρα τυγχάνει πολλῶν ἡμερῶν τῶν ἐν τῷ γήρει καὶ μία ἡμέρα ὡσαύτως πολλῶν μηνῶν. Διὰ τοῦτο συμβουλεύομαί σοι ἀγαθὴν συμβουλὴν τοῦ ἀποστῆναί σε τῆς κακῆς ῥᾳθυμίας καὶ ἀφορμὴν λαβεῖν σε τῆς καλῆς προθυμίας καὶ μὴ ἀργῶν καὶ ζημιούμενος κἀμὲ θλίβῃς σὺν τοῖς βουλομένοις σου τὴν μεγίστην προκοπὴν καὶ σωτηρίαν γονεῦσιν, οἵτινες διὰ τῆς τοῦ θεοῦ χάριτος εὐρωστίαν ἕξοιεν διηνεκῶς.

**95** (φ. 162α)

Καθάπερ ἀδύνατον σῶμα δίχα ψυχῆς ζωτικὴν ἐνέργειαν ἐπιδείκνυσθαι, ὡσαύτως οὐδὲ ἐμὲ δυνατὸν ζῆν στερούμενον τῆς σῆς γλυκυτάτης καὶ φεραυγοῦς ὄψεως. Εἰ γὰρ καὶ ἔοικα ζῆν, ἀλλὰ πολλῷ

2. νοήτῳ 6-7. χαριτόβρυτον ἐκ τοῦ χαριτόβρυτον 12. αὐτοῦ 15. μεταμεληθήσεται 17. ὡσαύτως διατοῦτο 18. ἀποστῆναι 21. ἕξοιεν 22. ἄδυνατον

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

χείρω θανάτου τὴν τοιαύτην ἡγοῦμαι ζωήν, καί, εἰ μηδόλως ἂν ἐνωπτριζόμην τοῖς συχνοτάτοις ἰνδάλμασιν καὶ φαντάσμασιν τοῦ νοὸς τὰ περὶ σῆς ὁμιλίας, παραυτίκα τῷ Ἅδῃ προσήγγισα ἄν.

## 96 (φ. 162α)

Ἰσοκράτης ὁ ῥήτωρ περὶ παιδείας φιλοσοφῶν εἴρηκεν ὡς πικρὰ μὲν τῆς παιδείας ἡ ῥίζα, ἡδεῖς δὲ οἱ καρποί. Καὶ γὰρ ὄντως ὁ παιδείας ἵμερον ἔχων πόνων ἔχεται καὶ ἱδρώτων ὁσημέραι τυραννίσι διερὸς γίνεται ἔτει δὲ ὕστερον καρποὺς τρυγᾷ στάζοντας ἡδονῆς μέλι.

## 97 (φ. 162α)

Ὁ πόνον στοιχῶν καὶ ἤδη φιληδῶν δι᾽ ὀλίγον αἶνον μέτοχος πλείστων αἴνων γίνεται, ὁ δὲ πόνον ἀποστρεφόμενος ὄκνων δὲ ἐπιστρεφόμενος καθόλου αἴνων ÷ (μένει ἀτελές;)

## 98 (φ. 162α)

Ἔχε ἐπὶ λογισμῶν, ὦ παῖ, τὰ γραφόμενά σοι ῥησείδια καὶ λεξείδια τὰ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον καὶ ποθεινότερα ὑπὲρ μυριάδας χρυσίου. Ταῦτα γάρ σε . . . .

## 99 (φ. 162α).

Ὁ ἐρῶν παιδείας ἀπωθεῖται τὴν παιδιάν, ἐπιστρέφεται δὲ τὸ πονεῖν καὶ ἀποστρέφεται τὸ ὀκνεῖν, ἐπείγεται τῷ . . . . περὶ λόγων καὶ ἀγρυπνεῖν τῇ μελέτῃ, ἔπειτα δὲ ὕστερον καρποὺς τρυγᾷ στάζοντας ἡδονῆς μέλι.

## 100 (φ. 162α)

Τὸ ῥαθυμεῖν καὶ ἀργεῖν καὶ ὀκνεῖν καὶ ὑπνώττειν καὶ εὐφραίνεσθαι, τῷ σχολάζειν ταῖς παιδιαῖς καὶ μὴ ἥδεσθαι τῷ . . . . ἐν τῇ παιδείᾳ εὐφροσύνην οὐδέποτε προξενήσουσι τῷ κεκτημένῳ.

1. μὴδ᾽ὅλως 2. ἐνωπτριξόμην 3. ὁμιλίας παρ᾽ αὐτίκα 4. πῖκρὰν 5. ἠδεὶς 6. ὡς ἠμέρας τηραννίσι 8. ἴδη φιληδῶν ὀλίγον ἐνον 10. καθόλου ἐνον 11. ἐπιλογισμῶν 12. μέλη 12-13. ὑπερμυρϊάδας 14. ἀποθεῖται 15. ἰδίοιν 18. τῶ 19. ἠδεσθαι ἰδίειν 20. εὐφροσύνη οὐδέπωτ προξενήσαι

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: Ε.Π. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## 101 (φ. 162α).

Δικάζομαί σε, κόσμε· τίς πόθεν πάρει | πρῶτον δίξον καὶ ὅποι καταστρέφεις, | ῥοιζεῖς καὶ πῶς με κύκλος ὡς μύρμηκ' ἄγω. | Οὐκ οἶδ' ὅθεν προῆλθον, ἐκ θεοῦ δέγε, | καταστρέφω δ' εἰς κρεῖσσον, οὐ ῥοιζῶ δέ σε.

## 102 (φ. 162α).

Τὸν ἐνδιάθετόν σου ποθῶν ἀκριβῶς ἐπίσταμαι, εὖ οἶδ' ὅτι καὶ μὴ παρόντος μου μνημονεύειν καὶ ἀπόντος μου μνείαν ποιεῖσθαί σε, ἔπει καὶ εἴωθε ψυχὴ ἀνακραθεῖσα πνευματικῷ ἔρωτι πρὸς ἑτέραν ψυχὴν μηδαμῶς ἀπολείπεσθαι ἀλλήλων ἐνοπτρίζεσθαι τὰς ἑκατέρων φαντασίας καὶ ἐφ' ἑαυτῆς ἑκάστη καταστοχάζεσθαι τὰ τῆς ἑτέρας βουλεύματα. Τῷ κἀγὼ πεποιθὼς ὑπάρχω τοῖς τοιούτοις.

---

1. πάρειν ὅπ• 2. ῥοίζεις 5. ὅτι 6. ποιείσθαι 7. ἐπεὶ 8. ἀπολίπεσθαι 10. τοιοῦτοις

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006